Ιεροβααλ ἐν ἡμέραις πολέμου μητέρα ἐπὶ τέκνοις ἠδάφισαν. [15]οὕτως 15
ποιήσω ὑμῖν, οἶκος τοῦ Ισραηλ, ἀπὸ προσώπου κακιῶν ὑμῶν·
ὄρθρου ἀπερρίφησαν, ἀπερρίφη βασιλεὺς Ισραηλ.

[1]Διότι νήπιος Ισραηλ, καὶ ἐγὼ ἠγάπησα αὐτὸν καὶ ἐξ Αἰγύπτου 11
μετεκάλεσα τὰ τέκνα αὐτοῦ. [2]καθὼς μετεκάλεσα αὐτούς, οὕτως 2
ἀπῴχοντο ἐκ προσώπου μου· αὐτοὶ τοῖς Βααλιμ ἔθυον καὶ τοῖς
γλυπτοῖς ἐθυμίων. [3]καὶ ἐγὼ συνεπόδισα τὸν Εφραιμ, ἀνέλαβον αὐ- 3
τὸν ἐπὶ τὸν βραχίονά μου, καὶ οὐκ ἔγνωσαν ὅτι ἴαμαι αὐτούς. [4]ἐν 4
διαφθορᾷ ἀνθρώπων ἐξέτεινα αὐτοὺς ἐν δεσμοῖς ἀγαπήσεώς μου
καὶ ἔσομαι αὐτοῖς ὡς ῥαπίζων ἄνθρωπος ἐπὶ τὰς σιαγόνας αὐτοῦ·
καὶ ἐπιβλέψομαι πρὸς αὐτόν, δυνήσομαι αὐτῷ. [5]κατῴκησεν Εφραιμ 5
ἐν Αἰγύπτῳ, καὶ Ασσουρ αὐτὸς βασιλεὺς αὐτοῦ, ὅτι οὐκ ἠθέλησεν
ἐπιστρέψαι. [6]καὶ ἠσθένησεν ῥομφαία ἐν ταῖς πόλεσιν αὐτοῦ καὶ 6
κατέπαυσεν ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ φάγονται ἐκ τῶν διαβουλίων
αὐτῶν. [7]καὶ ὁ λαὸς αὐτοῦ ἐπικρεμάμενος ἐκ τῆς κατοικίας αὐτοῦ, 7
καὶ ὁ θεὸς ἐπὶ τὰ τίμια αὐτοῦ θυμωθήσεται, καὶ οὐ μὴ ὑψώσῃ
αὐτόν. [8]τί σε διαθῶ, Εφραιμ; ὑπερασπιῶ σου, Ισραηλ; τί σε διαθῶ; 8
ὡς Αδαμα θήσομαί σε καὶ ὡς Σεβωιμ; μετεστράφη ἡ καρδία μου
ἐν τῷ αὐτῷ, συνεταράχθη ἡ μεταμέλειά μου. [9]οὐ μὴ ποιήσω κατὰ 9
τὴν ὀργὴν τοῦ θυμοῦ μου, οὐ μὴ ἐγκαταλίπω τοῦ ἐξαλειφθῆναι τὸν
Εφραιμ· διότι θεὸς ἐγώ εἰμι καὶ οὐκ ἄνθρωπος· ἐν σοὶ ἅγιος, καὶ
οὐκ εἰσελεύσομαι εἰς πόλιν. [10]ὀπίσω κυρίου πορεύσομαι· ὡς λέων 10
ἐρεύξεται, ὅτι αὐτὸς ὠρύσεται, καὶ ἐκστήσονται τέκνα ὑδάτων.
[11]καὶ ἐκστήσονται ὡς ὄρνεον ἐξ Αἰγύπτου καὶ ὡς περιστερὰ ἐκ γῆς 11
Ἀσσυρίων· καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν,
λέγει κύριος.

[1]Ἐκύκλωσέν με ἐν ψεύδει Εφραιμ καὶ ἐν ἀσεβείαις οἶκος Ισραηλ 12
καὶ Ιουδα. νῦν ἔγνω αὐτοὺς ὁ θεός, καὶ λαὸς ἅγιος κεκλήσεται
θεοῦ. [2]ὁ δὲ Εφραιμ πονηρὸν πνεῦμα, ἐδίωξεν καύσωνα ὅλην τὴν 2
ἡμέραν· κενὰ καὶ μάταια ἐπλήθυνεν καὶ διαθήκην μετὰ Ἀσσυρίων
διέθετο, καὶ ἔλαιον εἰς Αἴγυπτον ἐνεπορεύετο. [3]καὶ κρίσις τῷ κυρίῳ 3
πρὸς Ιουδαν τοῦ ἐκδικῆσαι τὸν Ιακωβ κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ
κατὰ τὰ ἐπιτηδεύματα αὐτοῦ ἀνταποδώσει αὐτῷ. [4]ἐν τῇ κοιλίᾳ ἐ- 4
πτέρνισεν τὸν ἀδελφὸν αὐτοῦ καὶ ἐν κόποις αὐτοῦ ἐνίσχυσεν πρὸς
θεὸν [5]καὶ ἐνίσχυσεν μετὰ ἀγγέλου καὶ ἠδυνάσθη· ἔκλαυσαν καὶ 5

14 ιεροβααλ AQ[c]] -βοαμ BQ*, -βοαλ *C*, αρβεηλ *L* || 15 κακιων] pr. αδικιας B† | ισραηλ ult.] pr. του A†

11 1 διοτι] οτι B†: sic α′σ′θ′ | ηγαπηκα A || 2 μετεκαλεσα] -σατο A || 4 εσομαι] pr. εγω A† || 7 και ο 2°] ο δε A† || 8 διαθω 1°] -θωμαι B† || 11 και 1° AQ*L*] > B*C* | εκπτησονται A(B* dub.)

12 1 ασεβειαις A(-ας)Q*C*] ις > B*L* | οικου A† | κεκλησεται (cf. Exod. 12 16 A. Leu. 13 45)] κληθησεται A, κεκληται *L*† || 3 ιουδαν] pr. τον A† | ανταποδωσει] αντ > B† || 4 θεον] pr. τον A†